Textauszug aus Platons Politeia:
Adeimantos, ein Bruder des Sokrates, nimmt Stellung zu der Gesprächsführung des Sokrates.

καὶ ὁ Ἀδείμαντος, ὦ Σώκρατες, ἔφη,
πρὸς μὲν ταῦτά σοι οὐδεὶς ἂν οἷός τ᾽ εἴη ἀντειπεῖν.

ἀλλὰ γὰρ τοιόνδε τι πάσχουσιν οἱ ἀκούοντες ἑκάστοτε ἃ νῦν λέγεις:
ἡγοῦνται δι᾽ ἀπειρίαν τοῦ ἐρωτᾶν καὶ ἀποκρίνεσθαι ὑπὸ τοῦ λόγου παρ᾽ ἕκαστον τὸ ἐρώτημα σμικρὸν παραγόμενοι,
ἀθροισθέντων τῶν σμικρῶν ἐπὶ τελευτῆς τῶν λόγων μέγα τὸ σφάλμα καὶ ἐναντίον τοῖς πρώτοις ἀναφαίνεσθαι,
καὶ ὥσπερ ὑπὸ τῶν πεττεύειν δεινῶν οἱ μὴ τελευτῶντες ἀποκλείονται καὶ οὐκ ἔχουσιν ὅτι ,
φέρωσιν,
οὕτω καὶ σφεῖς τελευτῶντες ἀποκλείεσθαι καὶ οὐκ ἔχειν ὅτι λέγωσιν ὑπὸ πεττείας αὖ ταύτης τινὸς ἑτέρας,
οὐκ ἐν ψήφοις ἀλλ᾽ ἐν λόγοις:
ἐπεὶ τό γε ἀληθὲς οὐδέν τι μᾶλλον ταύτῃ ἔχειν.

λέγω δ᾽ εἰς τὸ παρὸν ἀποβλέψας.

νῦν γὰρ φαίη ἄν τίς σοι λόγῳ μὲν οὐκ ἔχειν καθ᾽ ἕκαστον τὸ ἐρωτώμενον ἐναντιοῦσθαι,
ἔργῳ δὲ ὁρᾶν,
ὅσοι ἂν ἐπὶ φιλοσοφίαν ὁρμήσαντες μὴ τοῦ πεπαιδεῦσθαι ἕνεκα ἁψάμενοι νέοι ὄντες , ἀπαλλάττωνται,
ἀλλὰ μακρότερον ἐνδιατρίψωσιν,
τοὺς μὲν πλείστους καὶ πάνυ ἀλλοκότους γιγνομένους,
ἵνα μὴ παμπονήρους εἴπωμεν,
τοὺς δ᾽ ἐπιεικεστάτους δοκοῦντας ὅμως τοῦτό γε ὑπὸ τοῦ ἐπιτηδεύματος οὗ σὺ ἐπαινεῖς πάσχοντας,
ἀχρήστους ταῖς πόλεσι γιγνομένους.